STEREO AND MONO 33 ΥΒΞ 37

# Γιορτή τῆς Παναγίας



Ἀπό τήν ὑμνολογίαν
τῆς ἐκκλησίας μας.

Ψάλλει ὁ Ἐμμανουήλ Χατζημάρκος, πρωτοψάλτης
ἱεροῦ ναοῦ Ἁγίου Διονυσίου, Πολιούχου Ἀθηνῶν.

STEREO AND MONO 33 ΥΒΞ 37

# Γιορτή τῆς Παναγίας

## Ἀπό τήν ὑμνολογίαν τῆς ἐκκλησίας μας.

*Ψάλλει ὁ Ἐμμανουήλ Χατζημάρκος, πρωτοψάλτης ἱεροῦ ναοῦ Ἁγίου Διονυσίου, Πολιούχου Ἀθηνῶν.*

ΙΣΟΚΡΑΤΕΣ: Αναστάσιος Γέρου, Ανδρέας Ζιούβας, Νίκος Κωνσταντινόπουλος, Νίκος Σωτηρόπουλος, Βασίλης Χατζημάρκος, Κώστας Χατζημάρκος.



ΔΙΣΚΟΙ ΤΟΥ ΙΔΙΟΥ

- ΒΥΖΑΝΤΙΝΟΙ ΛΕΙΤΟΥΡΓΙΚΟΙ ΥΜΝΟΙ
- ΥΜΝΟΙ ΧΡΙΣΤΟΥΓΕΝΝΩΝ
- ΥΜΝΟΙ ΤΡΙΩΔΙΟΥ
- ΥΜΝΟΙ ΚΑΤΑΝΥΚΤΙΚΟΙ Μ. ΤΕΣΣΑΡΑΚΟΣΤΗΣ
- ΥΜΝΟΙ Μ. ΕΒΔΟΜΑΔΟΣ
- ΥΜΝΟΙ ΑΝΑΣΤΑΣΕΩΣ
- ΥΜΝΟΙ ΠΕΝΤΗΚΟΣΤΑΡΙΟΥ
- ΥΜΝΟΙ 1ης ΙΑΝΟΥΑΡΙΟΥ ΚΑΙ ΘΕΟΦΑΝΕΙΩΝ
- ΥΜΝΟΙ ΘΕΙΑΣ ΛΕΙΤΟΥΡΓΙΑΣ
- ΧΑΙΡΕΤΙΣΜΟΙ ΤΗΣ ΘΕΟΤΟΚΟΥ
- ΥΜΝΟΙ ΤΟΥ ΠΑΘΟΥΣ
- ΘΕΟΤΟΚΕ ΠΑΡΘΕΝΕ (τεριρέμ)
- ΩΡΕΣ ΧΡΙΣΤΟΥΓΕΝΝΩΝ ΚΑΙ ΘΕΟΦΑΝΕΙΩΝ
- ΜΥΡΙΠΝΟΑ ΑΝΘΗ
- ΦΩΣ ΙΛΑΡΟΝ
- ΜΕΓΑΣ ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ
- ΜΙΚΡΟΣ ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ
- ΓΙΟΡΤΗ ΤΗΣ ΠΑΝΑΓΙΑΣ

### Α΄ ΟΨΙΣ

ΓΙΟΡΤΗ ΤΗΣ ΠΑΝΑΓΙΑΣ

ΑΝΟΙΞΑΝΤΑΡΙΑ

Ἐμμ. Χατζημάρκου.

Ἦχος β΄.

Ἀνοίξαντός σου τήν χεῖρα,
τά σύμπαντα πλησθήσονται χρηστότητος·
ἀποστρέψαντος δέ σου τό πρόσωπον
ταραχθήσονται.
Δόξα σοι ὁ Θεός, Ἀλληλούϊα.

Ἀντανελεῖς τό πνεῦμα αὐτῶν
καί ἐκλείψουσι
καί εἰς τόν χοῦν αὐτῶν
ἐπιστρέψουσιν.
Δόξα σοι ὁ Θεός, Ἀλληλούϊα.

Ἐξαποστελεῖς τό Πνεῦμα σου
καί κτισθήσονται
καί ἀνακαινιεῖς
τό πρόσωπον τῆς γῆς.
Δόξα σοι Πάτερ,
Δόξα σοι Υἱέ,
δόξα σοι τό Πνεῦμα τό Ἅγιον.
Δόξα σοι ὁ Θεός, Ἀλληλούϊα.

Ἤτω ἡ δόξα Κυρίου εἰς τούς αἰῶνας·
εὐφρανθήσεται Κύριος
ἐπί τοῖς ἔργοις αὐτοῦ.
Δόξα σοι Ἅγιε,
δόξα σοι Κύριε,
δόξα σοι Βασιλεῦ οὐράνιε,
δόξα σοι ὁ Θεός Ἀλληλούϊα.

Ὁ ἐπιβλέπων ἐπί τήν γῆν,
καί ποιῶν αὐτήν τρέμειν·
ὁ ἁπτόμενος τῶν ὀρέων
καί καπνίζονται.
Δόξα σοι Ἅγιε,
δόξα σοι Κύριε,
Δόξα σοι Βασιλεῦ οὐράνιε.
Δόξα σοι τό Πνεῦμα τό Ἅγιον.
Δόξα σοι ὁ Θεός, Ἀλληλούϊα.

Ἄσω τῷ Κυρίῳ
ἐν τῇ ζωῇ μου,
ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω.
Δόξα σοι Τρισυπόστατε Θεότης,
Πάτερ, Υἱέ καί Πνεῦμα,
Σέ προσκυνοῦμεν καί δοξάζομεν·
δόξα σοι ὁ Θεός, Ἀλληλούϊα.

Ἡδυνθείη αὐτῷ ἡ διαλογή μου,
ἐγώ δέ εὐφρανθήσομαι
ἐπί τῷ Κυρίῳ.
Δόξα σοι Πάτερ Ἄναρχε.
Δόξα σοι Υἱέ συνάναρχε,
δόξα σοι τό Πνεῦμα τό Ἅγιον,
τό ὁμοούσιον καί ὁμόθρονον,
Τριάς Ἁγία δόξα σοι,
δόξα σοι ὁ Θεός, Ἀλληλούϊα.

Ἐκλείποιεν ἁμαρτωλοί
ἀπό τῆς γῆς.
Καί ἄνομοι,
ὥστε μή ὑπάρχειν αὐτούς.
Δόξα σοι Πάτερ,
δόξα σοι Υἱέ,
δόξα σοι τό Πνεῦμα τό Ἅγιον,
Τριάς Ἁγία δόξα σοι·
Δόξα σοι ὁ Θεός, Ἀλληλούϊα.

Εὐλόγει ἡ ψυχή μου τόν Κύριον,
ὁ ἥλιος ἔγνω τήν δύσιν αὐτοῦ·
ἔθου σκότος
καί ἐγένετο νύξ.

Δόξα σοι Βασιλεῦ ἐπουράνιε,
δόξα σοι Παντοκράτορ
σύν Υἱῷ καί Πνεύματι·
δόξα σοι ὁ Θεός, Ἀλληλούϊα.

Ὡς ἐμεγαλύνθη τά ἔργα σου, Κύριε·
πάντα ἐν σοφίᾳ ἐποίησας.

Δόξα σοι Πάτερ ἀγέννητε,
δόξα σοι Υἱέ γεννητέ,
δόξα σοι τό Πνεῦμα τό Ἅγιον,
τό ἐκ τοῦ Πατρός ἐκπορευόμενον
καί ἐν Υἱῷ ἀναπαυόμενον·
Τριάς Ἁγία δόξα σοι·
δόξα σοι ὁ Θεός, Ἀλληλούϊα.

Δόξα... Καί νῦν... Ἀλληλούϊα. (τρίς) δόξα σοι ὁ Θεός.

ΚΕΚΡΑΓΑΡΙΑ

Ἦχος α΄.

(Ἰακώβου).

Κύριε ἐκέκραξα, πρός σέ,
εἰσάκουσόν μου,
εἰσάκουσόν μου, Κύριε.
Κύριε, ἐκέκραξα πρός σέ,
εἰσάκουσόν μου·
πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου,
ἐν τῷ κεκραγέναι με πρός σέ·
εἰσάκουσόν μου, Κύριε.

### Β΄ ΟΨΙΣ

Κατευθυνθήτω ἡ προσευχή μου,
ὡς θυμίαμα ἐνώπιόν σου·
ἔπαρσις τῶν χειρῶν μου,
θυσία ἑσπερινή·
εἰσάκουσόν μου, Κύριε.

Ἦχος α΄.

Αὐτόμελον.

Ὢ τοῦ παραδόξου θαύματος!
ἡ πηγή τῆς ζωῆς,
ἐν μνημείῳ τίθεται,
καί κλίμαξ πρός οὐρανόν,
ὁ τάφος γίνεται.
Εὐφραίνου Γεθσημανή,
τῆς Θεοτόκου τό ἅγιον τέμενος.
Βοήσωμεν οἱ πιστοί,
τόν Γαβριήλ κεκτημένοι ταξίαρχον·
Κεχαριτωμένη χαῖρε,
μετά σοῦ ὁ Κύριος,
ὁ παρέχων τῷ κόσμῳ,
διά σοῦ τό μέγα ἔλεος.

Βαβαί
τῶν σῶν μυστηρίων ἁγνή!
τοῦ Ὑψίστου θρόνος,
ἀνεδείχθης Δέσποινα,
καί γῆθεν
πρός οὐρανόν, μετέστης σήμερον.
Ἡ δόξα σου εὐπρεπής,
θεοφεγγέσιν ἐκλάμπουσα χάρισι.
Παρθένοι σύν τῇ Μητρί, τοῦ Βασιλέως,
πρός ὕψος ἐπάρθητε.
Κεχαριτωμένη χαῖρε,
μετά σοῦ ὁ Κύριος,
ὁ παρέχων τῷ κόσμῳ,
διά σοῦ τό μέγα ἔλεος.

Τήν σήν δοξάζουσι Κοίμησιν,
Ἐξουσίαι, Θρόνοι,
Ἀρχαί, Κυριότητες,
Δυνάμεις καί Χερουβείμ
καί τά φρικτά Σεραφείμ.
Ἀγάλλονται γηγενεῖς,
ἐπί τῇ θείᾳ σου δόξῃ κοσμούμενοι.

Προσπίπτουσι βασιλεῖς, σύν Ἀρχαγγέλοις
Ἀγγέλοις καί μέλπουσι·
Κεχαριτωμένη χαῖρε,
μετά σοῦ ὁ Κύριος,
ὁ παρέχων τῷ κόσμῳ,
διά σοῦ τό μέγα ἔλεος.

Δόξα... Καί νῦν...

Ἦχος α΄:

Θεαρχίῳ νεύματι,
πάντοθεν οἱ θεοφόροι Ἀπόστολοι,
ὑπό νεφῶν
μεταρσίως αἰρόμενοι.

Ἦχος πλ. α΄:

Καταλαβόντες τό πανάχραντον,
καί ζωαρχικόν σου σκῆνος,
ἐξόχως ἠσπάζοντο.

Ἦχος β΄:

Αἱ δέ ὑπέρτατοι τῶν οὐρανῶν Δυνάμεις,
σύν τῷ οἰκείῳ Δεσπότῃ
παραγενόμεναι,

Ἦχος πλ. β΄:

τό θεοδόχον καί ἀκραιφνέστατον σῶμα προπέμπουσι,
τῷ δέει κρατούμεναι·
ὑπερκοσμίως δέ προώχοντο,
καί ἀοράτως ἐβόων,
ταῖς ἀνωτέραις ταξιαρχίαις·
ἰδού ἡ παντάνασσα
Θεόπαις παραγέγονεν.

Ἦχος γ΄:

Ἄρατε πύλας,
καί ταύτην ὑπερκοσμίως ὑποδέξασθε,
τήν τοῦ ἀεννάου φωτός Μητέρα.

Ἦχος βαρύς:

Διά ταύτης γάρ
ἡ παγγενής τῶν βροτῶν
σωτηρία γέγονεν·
ἣ ἀτενίζειν οὐκ ἰσχύομεν,
καί ταύτῃ ἄξιον γέρας
ἀπονέμειν ἀδύνατον.

Ἦχος δ΄:

Ταύτης γάρ τό ὑπερβάλλον,
ὑπερέχει
πᾶσαν ἔννοιαν.

Ἦχος πλ. δ΄:

Διό ἄχραντε Θεοτόκε,
ἀεί σύν ζωηφόρῳ Βασιλεῖ, καί τόκῳ ζῶσα,
πρέσβευε διηνεκῶς,
περιφρουρῆσαι καί σῶσαι,
ἀπό πάσης προσβολῆς
ἐναντίας τήν νεολαίαν σου·
τήν γάρ σήν
προστασίαν κεκτήμεθα.

Ἦχος α΄:

Εἰς τούς αἰῶνας,
ἀγλαοφανῶς, μακαρίζοντες.

ΑΠΟΛΥΤΙΚΙΟΝ

Ἦχος α΄.

Ἐν τῇ Γεννήσει, τήν παρθενίαν ἐφύλαξας.
Ἐν τῇ Κοιμήσει, τόν κόσμον οὐ κατέλιπες Θεοτόκε.
Μετέστης πρός τήν ζωήν,
Μήτηρ ὑπάρχουσα τῆς ζωῆς
καί ταῖς πρεσβείαις ταῖς σαῖς λυτρουμένη,
ἐκ θανάτου τάς ψυχάς ἡμῶν.

ΕΚΔΟΣΙΣ ΖΩΗ ΚΑΡΥΤΣΗ 14, ΑΘΗΝΑΙ

ΕΚΤΥΠΩΣΙΣ: ΑΛΕΞ. ΜΑΤΣΟΥΚΗΣ Α.Ε.